www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

## ΙΑΚΩΒΟΥ

ΤΟΥ ΑΔΕΛΦΟΘΕΟΥ

ΚΑΙ ΠΡΩΤΟΥ ΙΕΡΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ.

ἐκδίδοται κελεύσει

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΚΥΡΙΛΛΟΥ.

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ.

͵ΑΩΞΑ΄.

www.tezaurliturgic.ro

PA
5218
.1
J3
1861

1853 ✱ ΣΦΡΑΓΙΣ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ.

ΚΡ ΠΤ ΙΛ ΛΣ. ΡΧ. ΜΝ.

ΠΑΝΕ…

80266

Πρᾶξις Τυπογραφείου ἀριθ. 52.

www.tezaurliturgic.ro

ΑΡΤΙ ἀγαθῇ τύχῃ διεκπεραιωθείσης τῆς ἐκδόσεως τῶν καλῶν καὶ σωτηρίων Ὁμιλιῶν τοῦ τῆς Ταυρομενίας Ἀρχιεπισκόπου Θεοφάνους τοῦ Κεραμέως, δι' ὧν ὁ πολὺς μὲν τὴν παίδευσιν, ὑψηλὸς δὲ τὴν ἀρετὴν καὶ ἀκάματος ἐν πᾶσι τοῖς τὸ ἴδιον ποίμνιον ὠφελεῖν δυναμένοις ἐκεῖνος ποιμὴν, οἷόν τινι γλυκυῤῥόῳ νάματι, πλουσίως τὰς τῶν πιστευόντων ἐπαρδεύων καρδίας, ἀειθαλεῖς τῇ εὐσεβείᾳ ἐναποδείκνυται κἀν πάσῃ ἀρετῇ κατευοδουμένας, διετάξατο ὁ θεοφιλὴς τῶν Ἱεροσολύμων Μακαριώτατος Ποιμενάρχης τὴν ἐκτύπωσιν τῆς ἱερᾶς Ἀκολουθίας τοῦ ἁγίου Ἰακώβου τοῦ Ἀδελφοθέου καὶ τὴν συμπλήρωσιν τῆς ἐν τῷ Μηναίῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ· τοῦτο μὲν εὐλαβείᾳ πρὸς τὸν τοῦ Κυρίου Ἀδελφὸν Ἰάκωβον φερόμενος, τὸν πρῶτον Ποιμένα καὶ διδάσκαλον καὶ πιστὸν οἰκονόμον τῆς ὑπὸ τὴν πνευματικὴν αὐτοῦ κυβέρνησιν Ἐκκλησίας· τοῦτο δὲ πρόνοιαν ποιούμενος εἰδικὴν τῆς ἐπὶ τῷ Πατριαρχικῷ αὐτοῦ ὀνόματι σεμνυνομένης Θεολόγου Σχολῆς, ἧς ἔφορος καὶ ὑπογραμμὸς τῶν αὐτῇ ἐναθλούντων ὁ τῆς Δαμασκοῦ νε-

www.tezaurliturgic.ro

νομοθέτηται φωστὴρ, ὅστις ἐν τῇ κατὰ τὴν Παλαιστίνην Λαύρᾳ τοῦ ἁγίου Σάββα αὐλισθεὶς, τοῖς ἐρημικοῖς τὴν καρδίαν ἄνθραξι καταφλογιζόμενος, ἀγωγὴν διήθλει τὴν πάντη μεμονωμένην καὶ ἄμικτον, ἑαυτῷ μόνῳ καὶ τῷ Θεῷ προσανέχων καὶ μελιῤῥύτοις προσομιλῶν ἄσμασι, καὶ οὕτω συμμιγνὺς καὶ ἐπαυξήσας τῇ πίστει τὴν ἐπιστήμην καὶ τὴν σοφίαν τῇ ἀρετῇ. Ἀμφότεραι δὲ αἱ ἐν λόγῳ καὶ ἀνὰ χεῖρας Ἀκολουθίαι ἐξήχθησαν ἐκ τοῦ χειρογράφου, τοῦ εὑρισκομένου ἐν τῇ μεγίστῃ Λαύρᾳ τοῦ ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου. Ἔστι δὲ ὁ Κώδηξ οὗτος νεωτέρας μὲν χειρὸς ἀντίγραφον, ἀλλὰ τὰ ἐν αὐτῷ εἰς διαφόρους ἁγίους ᾄσματά εἰσι ποιήματα ἀρχαιοτάτων Πατριαρχῶν, Ἐπισκόπων καὶ ἄλλων ἐπ' ἀρετῇ οὐχ ἧττον ἢ παιδείᾳ ἐπισήμων τοῦ Ἱεροσολυμικοῦ, ὡς ἐπὶ τὸ πολὺ, Θρόνου κληρικῶν·

www.tezaurliturgic.ro

## ΤΗ ΚΓ'. ΟΚΤΩΒΡΙΟΥ ΜΗΝΟΣ·

### ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΙΑΚΩΒΟΥ

## ΤΟΥ ΑΔΕΛΦΟΘΕΟΥ

### ΚΑΙ ΠΡΩΤΟΥ ΙΕΡΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, στιχολογοῦμεν τὸ ά. ἀντίφωνον, τὸ Μακάριος ἀνήρ· εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμοια. ἦχος δ'.

Ἔδωκας σημείωσιν.

ΔΕΥΤΕ τὸ μνημόσυνον, τοῦ Θεαδέλφου τιμήσωμεν, ἱερῶς οἱ θεόφρονες· ζυγὸν γὰρ δεξάμενος, τοῦ Χριστοῦ προθύμως, τοῦ Εὐαγγελίου, τῆς ἀγαθότητος αὐτοῦ, καὶ βασιλείας κήρυξ γεγένηται, καὶ τούτου τὴν ἀνέκφραστον, οἰκονομίαν πιστεύεται· δι' αὐτοῦ παντοδύναμε, ἱλασμὸν ἡμῖν δώρησαι·

Πάντα περιήχησε, τῆς οἰκουμένης τὰ πέρατα, τῶν ῥημάτων ὁ φθόγγος σου, δι' ὧν φωτιζόμεθα, ἀρετῆς ἐνθέου, πρὸς πᾶσαν ἰδέαν, καὶ ὁδηγούμεθα πιστῶς, πρὸς τῆς Τριάδος θείαν ἐπίγνωσιν· διὸ ἐκδυσωποῦμέν σε, ὡς ἱεράρχης ἱκέτευε, Ἰησοῦν τὸν φιλάνθρωπον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν·

www.tezaurliturgic.ro


Πόῤῥωθεν προβλέπων σου, τὴν πολιτείαν Ἰάκωβε, ἀδελφόν σε προσήκατο, Χριστὸς ὁ φιλάνθρωπος, ὁ σοφὸς προγνώστης, Ἱεροσολύμων, ἱεροφάντορα πιστὸν, καὶ ποιμενάρχην προχειρισάμενος, καὶ μύστην τὰ ἀπόῤῥητα, ἱερουργοῦντα μυστήρια· ὃν καὶ νῦν καθικέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα στιχ. ἦχος ὁ αὐτός.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Τῷ καλάμῳ τῆς χάριτος, ἐκ βυθοῦ ματαιότητος, τοὺς βροτοὺς ἀνείλκυσας ἀξιάγαστε, τοῦ διδασκάλου τοῖς νεύμασιν, ὑπείκων Ἰάκωβε, τοῦ φωτήσαντος τὴν σὴν, κατὰ πάντα διάνοιαν, καὶ Ἀπόστολον, καὶ σεπτὸν θεηγόρον σὲ παμμάκαρ, ἀναδείξαντος τῆς τούτου, ἀκαταλήπτου θεότητος·

Ἡ τοῦ Πνεύματος ἔλλαμψις, ἐπὶ σὲ καταβέβηκε, τοῦ πυρὸς ἐν εἴδει καὶ σὲ μακάριε, θεῖον εἰργάσατο κήρυκα, συντόνως ἐλαύνοντα, ἀθείας τὴν ἀχλὺν, καὶ τὸν κόσμον φωτίζοντα, τῇ λαμπρότητι, τῶν πανσόφων σου λόγων μυστολέκτα, Ἀποστόλων ἡ ἀκρότης, Χριστοῦ αὐτόπτα Ἰάκωβε·

Ἀστραπαῖς τοῦ κηρύγματος, τοὺς ἐν σκότει καθεύδοντας, ἀγνωσίας ἔνδοξε ὦ Ἰάκωβε, καταφωτίσας ἀνέδειξας, υἱοὺς διὰ πίστεως, τοῦ Δεσπότου καὶ Θεοῦ, οὗ τὸ πάθος ἐζήλωσας, καὶ τὸν θάνατον, καὶ τῆς δόξης

www.tezaurliturgic.ro


ἐγένου κληρονόμος, ὡς σοφὸς καὶ θεηγόρος, ὡς μαθητὴς ἀληθέστατος·

Δόξα, ἦχος πλ. β'.

Αἵματι τοῦ μαρτυρίου τὴν ἱερωσύνην κατεποίκιλας, ἱερομάρτυς Ἀπόστολε· τῷ γὰρ πτερυγίῳ τοῦ ἱεροῦ παρεστὼς, Θεὸν Λόγον ἐκήρυξας δημιουργὸν ὄντα τοῦ παντός· ὅθεν ὑπὸ ἰουδαίων ῥιφεὶς, οὐρανίων θαλάμων ἠξίωσαι, Ἀδελφόθεε Ἰάκωβε· Χριστὸν τὸν Θεὸν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν·

καὶ νῦν, Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος· τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα.

Ἰάκωβος, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν. Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες, ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. Εἰδέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ

www.tezaurliturgic.ro


τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος· καὶ δοθήσεται αὐτῷ. Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ· μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου. Ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται· ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται. Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα· ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον. Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί· πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ᾽ ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα. Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης· ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ἡμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ, σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου· καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν; Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί· οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου τούτου πλουσίους ἐν πίστει,

www.tezaurliturgic.ro

καὶ κληρονόμους τῆς βασιλείας, ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμήσατε τὸν πτωχόν· οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; Εἰ μέν τοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν Γραφήν, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καλῶς ποιεῖτε· εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται. Ὅς τις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος· ὁ γὰρ εἰπὼν, μὴ μοιχεύσῃς, εἶπε καὶ, μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης νόμου. Οὕτω λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι· ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος· καὶ κατακαυχᾶται ἔλεος κρίσεως.

Καθολικῆς ἐπιστολῆς Ἰακώβου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ, μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; οὕτως οὐδεμία πηγὴ ἁλικὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ. Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε, καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας· οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχικὴ, δαιμονιώδης. Ὅπου γὰρ ζῆλος καὶ ἐρίθεια, ἐκεῖ ἀκαταστασία, καὶ πᾶν φαῦλον πρᾶγμα· ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνικὴ, ἐπιεικὴς, εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος· καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην. Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, οὐκ ἔχετε δὲ, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς· αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστιν; ὃς ἂν οὖν βουλη-

www.tezaurliturgic.ro


θῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. Ἢ δοκεῖτε ὅτι κενῶς ἡ Γραφὴ λέγει, πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκησεν ἐν ὑμῖν; μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει, ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Εἰς τὴν λιτὴν, στιχ. ἰδιόμελα. Ἦχος ά. τοῦ Θεοφάνους.

Γέγονας Ἰάκωβε, θεόπνευστον ὄργανον, δι' οὗ ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε· τῇ εὐσήμῳ γὰρ βοῇ διέδραμε τὰ πέρατα, ὁ φθόγγος τῆς διδασκαλίας σου· καὶ μιμητὴς γενόμενος τοῦ πάθους τοῦ σωτῆρος Χριστοῦ, τὸν χῶρον κατέλαβες ἐκεῖνον ὃν ἐπόθησας· πρέσβευε τῷ Κυρίῳ Ἀδελφόθεε, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν·

ὁ αὐτός.

Ἀθλοφορικὸν ἐνδιαίτημα ἀπεφάνθης Ἰάκωβε Ἀπόστολε· τοῖς λίθοις ὡς ἄνθεσι πυκαζόμενος, ὑπὲρ τοῦ παθόντος σαρκὶ δι' ἡμᾶς, διὰ Χριστὸν Ἰησοῦν τὸ αἷμά σου ἐξέχεας· Ὅθεν Ἱερουσαλὴμ ἐλλαμπρύνεται, τῇ ἱερᾷ πανηγύρει σου σήμερον· οὐ μόνον δὲ ἐκείνη, ἀλλὰ καὶ πᾶσα ἡ ὑφήλιος, τῶν θαυμάτων σου τὰ τεράστια σαφῶς κηρύττουσα βοᾷ· πρέσβευε τῷ Κυρίῳ, τοῦ δωρήσασθαι ἡμῖν, τῶν πταισμάτων τὴν συγχώρησιν.

ὁ αὐτός.

Εὐφροσύνως σήμερον ἡ Ἐκκλησία τοῦ Θεοῦ στολίζεται, ἀγαλλομένη κράζουσα, ἐλαμπρύνθη μου τὸ κάλ-

www.tezaurliturgic.ro


λος ὑπὲρ πᾶσαν πόλιν· ἰδοὺ γὰρ τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον, Ἰάκωβος ὁ Ἀδελφόθεος, τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο· Δεῦτε οὖν φιλέορτοι, τῶν ὀρθοδόξων τὸ σύστημα, χοροστατήσαντες ἅμα τῇ θείᾳ λάρνακι, ἰαμάτων πλημμύραν λαμβάνοντες παρ' αὐτῆς, ἱκετεύσωμεν αἰτήσασθαι Χριστὸν τὸν Θεόν, τοῦ ῥυσθῆναι τὴν οἰκουμένην ἀπὸ πάσης αἱρέσεως.

ὁ αὐτός.

Ἀΰλοις καὶ ἀτρεμέσιν ὄμμασιν, ἐν τῷ φωτὶ τῷ ἀληθινῷ τὸν ἀρχίφωτον κατεῖδες Πατέρα, καὶ παρ' αὐτοῦ πᾶσαν προϊέναι ἀγαθοδωρίαν ἐπέγνως τε καὶ ἐκήρυξας Ἰάκωβε· καὶ τῆς πατροκινήτου φωτοχυσίας πᾶσι μετέδωκας τοῖς λόγοις σου· Καταύγασον καὶ ἡμῶν τὰ τῆς ψυχῆς ὄμματα, καὶ πρὸς τὴν τοῦ συναγωγοῦ Πατρὸς θεοποιὸν ἑνότητα, ἀνατατικῶς ἐπιστρέφειν καταξίωσον·

Δόξα, ἦχος πλ. β'.

Δεῦτε ἅπαντες πιστοί, τὸν τοῦ Κυρίου ἀδελφὸν καὶ Ἀπόστολον ὕμνοις ἱεροῖς ἐγκωμιάζοντες εἴπωμεν· Χαῖρε τῶν Ἱεροσολύμων ὁ πρώτιστος ποιμὴν καὶ ἀρχιερεύς· Χαῖρε τῆς τελειωτικῆς ἱερουργίας ὁ πρῶτος μυσταγωγὸς καὶ συγγραφεύς· Χαῖρε τῶν τοῦ Χριστοῦ δογμάτων ὁ ἄριστος διατάκτωρ καὶ καταγγελεύς, ὑπὲρ οὗ καὶ τὸ αἷμα ἐξέχεας μακάριε· αὐτὸν δυσώπει ἐκτενῶς, ὑπὲρ τῆς ποίμνης σου, ἔνδοξε.

www.tezaurliturgic.ro

καὶ νῦν. Θεοτοκίον. ὁ αὐτός.

Δεῦτε ἅπαντα τὰ ἔθνη, ἐν φωνῇ ἀγαλλιάσεως, τὴν παναγίαν Παρθένον καὶ Θεοτόκον εὐφημήσωμεν, τῆς ἀνθρωπίνης οὐσίας τὸ χωνευτήριον, τῶν ἀποῤῥήτων θαυμάτων τὸ ἐργαστήριον· ἐν αὐτῇ γὰρ γέγονε καινά· ὁ ἄναρχος ἄρχεται, ὁ Λόγος παχύνεται, ὁ Θεὸς ἄνθρωπος γίνεται, ἵνα Θεὸν τὸν ἄνθρωπον ἀπεργάσηται, οὐ τροπῇ τῶν φύσεων, ἀλλ' ἑνώσει τῇ καθ' ὑπόστασιν· προέρχεται γὰρ εἷς ἐκ δύο τῶν ἐναντίων, ἐν δυσὶ τελείαις ταῖς φύσεσιν, ἀδιαιρέτως γνωριζόμενος, θελητικῶς τε καὶ ἐνεργητικῶς, καθ' ἑκατέραν οὐσίαν, ὁ αὐτὸς τὸ ἀληθὲς πιστούμενος τῆς σωτηρίου οἰκονομίας, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ παρέχων τῷ Κόσμῳ ἱλασμὸν, εἰρήνην, καὶ τὸ μέγα ἔλεος·

Εἰς τὸν στιχ. στιχηρὰ ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ἀδελφὸς τοῦ Χριστοῦ, ἱερωτάταις καλλοναῖς σεμνυνόμενος, ὁ στύλος τῆς Ἐκκλησίας, ἡ τῶν δογμάτων κρηπὶς, τὸ τοῦ Παρακλήτου θεῖον ὄργανον, ὁ νοῦς ὁ θεόσοφος, ἡ κιθάρα τοῦ Πνεύματος, ποιμὴν ὁ μέγας, καὶ Χριστοῦ Ἀρχιποίμενος, θρέμμα γνήσιον, καὶ ἀρνίον πρᾳότατον, κρήνη ἡ ἀναβλύζουσα, δογμάτων τὰ νάματα, καὶ ἰαμάτων τὰ ῥεῖθρα, ἱερομύστα Ἰάκωβε, ἀεὶ ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος·

www.tezaurliturgic.ro


Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαίροις ὁ νοητὸς οὐρανὸς, Θεοῦ τὴν δόξαν τοῖς βροτοῖς διηγούμενος· στερέωμα ἀναγγέλλον, ποίησιν θείων χειρῶν· ἥλιος ὁ μέγας καὶ χρυσόμορφος, αὐγάζων τὰ πέρατα, τῷ φωτὶ θείας γνώσεως· σελήνης δίσκος, ἀργυροῦς ὁ ταῖς λάμψεσι, πλάνης ἔνδοξε, ἐκδιώκων σκοτόμαιναν· ἄστρον τῆς νέας χάριτος, Ἰάκωβε πάνσοφε· πᾶσι τοῖς πόθῳ τελοῦσι, τὴν πανσεβάσμιον μνήμην σου, Χριστὸν καταπέμψαι, παμμακάριστε δυσώπει τὸ μέγα ἔλεος·

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Χαίροις ὁ ἱερὸς Γραμματεὺς, μαθητευθεὶς εἰς βασιλείαν Ἰάκωβε, καὶ νέα καὶ παλαιά τε, ἐκ θησαυροῦ ἐκβαλὼν, τὰ τοῦ πάλαι νόμου καὶ τῆς χάριτος· Ἀπόστολος μέγιστος, ἱεράρχης ὁ πρώτιστος, Σιὼν τῆς νέας, τὸ δεκάχορδον ὄργανον, ἐμπνεόμενον, λεπταῖς αὔραις τοῦ Πνεύματος· σάλπιγξ ἡ διηχήσασα, εἰς Κόσμου τὰ πέρατα, τῆς ἀληθείας τὸν λόγον· τὸ τῶν δικαίων καλλώπισμα· Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος·

Δόξα, ἦχος πλ. δ΄.

Τοῦ Ἀρχιποίμενος Χριστοῦ ἀδελφὸς χρηματίσας καὶ διάδοχος, καὶ ἐν Ἀποστόλοις ἐπίσημος, τὸν ὑπὲρ αὐτοῦ θάνατον ἠγάπησας, καὶ τὸ μαρτύριον οὐκ ἐπησχύν-

www.tezaurliturgic.ro


θης, Ἰάκωβε ἔνδοξε· αὐτὸν ἱκέτευε ἀδιαλείπτως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

καὶ νῦν, Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου...

Ἀπολυτίκιον ἦχος β'.

Ὡς τοῦ Κυρίου μαθητὴς, ἀνεδέξω δίκαιε τὸ Εὐαγγέλιον· ὡς μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον, τὴν παῤῥησίαν ὡς ἀδελφόθεος, τὸ πρεσβεύειν ὡς ἱεράρχης· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα...

καὶ τὰ λοιπὰ καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον· μετὰ τὴν α'. στιχολογίαν,

Κάθισμα ἦχος α'.

**Τὸν τάφον σου Σωτήρ.**

Εὐφραίνεται ἐν σοὶ, Σιὼν Πόλις Κυρίου, ἡμέρας φαεινὴν, σὲ πλουτοῦσα νεφέλην, καὶ στύλον ἀείφωτον, ἐν νυκτὶ ὡς προλέλεκται, ἀπὸ καύματος, ἐν ἀποκρύφῳ

www.tezaurliturgic.ro

καὶ σκέπη, ταύτην φύλαττε, ἐκ δυσμενῶν ἀλαστόρων, θεόπτα Ἰάκωβε· (δὶς)

καὶ νῦν· Θεοτοκίον.

Μαρία ἡ τὰς τρεῖς, ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον, Θεόν τε καὶ τὸν ἄνθρωπον, πίστιν τε καὶ πιστεύουσαν, τοῖς ξενίζουσι, τούτοις καρδίαν ἀνθρώπου, ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ, καὶ σῶσον Πανύμνητε·

Μετὰ τὴν β΄. στιχ. Κάθισμα ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Σαρκωθεὶς ἐπὶ τῆς γῆς, ὁ ἔχων θρόνον οὐρανὸν, ἀδελφὸν καὶ μαθητὴν, σὲ τὸν τοῦ τέκτονος υἱὸν, ὁ παντεχνήμων προσήκατο Ἰάκωβε φιλανθρώπως· καὶ πόλιν τὴν Σιὼν ἐγχειρίσας σοι, διάδοχον αὐτοῦ ἀπερίτρεπτον, ἱεραρχοῦντα ἔστησεν, ἐπὶ τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ· λοιπὸν μὴ παύσῃ, αὐτῷ πρεσβεύειν, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε· (δὶς)

καὶ νῦν. Θεοτοκίον.

Ἀπειρόγαμε ἁγνὴ, πῶς συλλαμβάνεις ἐν γαστρί; τὸν ἁπάντων τὴν πνοὴν, περιλαβόντα ἐν χερσί; φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου σου· Πανάληθές ἐστι τοῦτο ὦ ἄνθρωπε, καὶ παῦσαι ἐρευνῶν τὸ ἀκατάληπτον, ὕψος καὶ βάθος μῆκος καὶ πλάτος, τῆς ἀποῤῥή-

www.tezaurliturgic.ro

του λοχείας μου· νικᾷ γὰρ ὄντως, ἔννοιαν πᾶσαν, Ἀγγέλων καὶ τῶν ἀνθρώπων·

Μετὰ τὸν πολυέλεον Κάθισμα ἦχος γ΄.

Τὴν ὡραιότητα.

Τοῦ θείου Πνεύματος, τὴν ἐπιφοίτησιν, μάκαρ δεξάμενος, τέμενος γέγονας, τῶν χαρισμάτων τῶν αὐτοῦ, καὶ τύπον πλάτος ἔχοντα, μυστικὸν συνέγραψας, πανιέροις νοήμασι, καὶ σοφαῖς ἐν φράσεσι, θεοφόρε Ἰάκωβε, φρικτῆς ἱερουργίας καὶ τοῦτον, παρέδωκας τῇ Ἐκκλησίᾳ·

καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ κοιμήσει σου Παρθένε ἄχραντε, καὶ ὁ Ἰάκωβος ὁ Ἀδελφόθεος, μετὰ τῶν ἄλλων μαθητῶν παρῆν ὡς θεασόμενος, τὸ ζωαρχικώτατον, καὶ πανάχραντον σκῆνός σου, καὶ τὸ ἀνερμήνευτον, ἀνυμνήσων μυστήριον, τῆς θείας καὶ φρικτῆς σου λοχείας· ὃ προσκυνοῦντας ἡμᾶς σῶσον·

Οἱ ἀναβαθμοί, τὸ ά. ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον, ἦχος δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Τό, Πᾶσα πνοή. Εὐαγγέλιον. Ὁ Ν΄. Δόξα, Ταῖς τοῦ Ἀποστόλου· καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Εἶτα, στιχ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον ἦχος πλ. β΄.

Παρεστηκὼς τῷ θρόνῳ τοῦ Δεσπότου Χριστοῦ, καὶ παῤῥησίας τυγχάνων πρὸς αὐτόν, διὰ τὴν συγγενῆ

www.tezaurliturgic.ro

οἰκειότητα, μὴ ἀποκάμῃς ἱκετεύειν ὑπὲρ ἡμῶν τὴν αὐτοῦ ἀγαθότητα, Ἰάκωβε Θεάδελφε, τῶν Δεσποσύνων ὁ πρώτιστος·

Ὁ Κανὼν τῆς Θεοτόκου εἰς δ΄. καὶ τοῦ ἁγίου εἰς η΄.

Ὠδὴ ά. ἦχος πλ. δ΄.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτὲ, Μωσαϊκὴ ῥάβδος σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδοίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα·

Δεδοξασμένα περὶ σοῦ λελάληνται, δεδοξασμένη Ἁγνὴ, ἡ τῶν πιστῶν δόξα, μόνη χρηματίσασα· διὸ μελλούσης δόξης με, κοινωνὸν σαῖς πρεσβείαις, δοξάζοντά σε ἀνάδειξον, Ἄχραντε Πανάμωμε Δέσποινα·

Εὐλογημένος ὁ καρπὸς Πανάμωμε, ὁ τῆς κοιλίας σου, δι' οὗ βροτοὶ πάντες, τῆς ἀρᾶς ἐλύθημεν, εὐλογημένη Πάναγνε, ἀνερμήνευτον θαῦμα, ἀκατανόητον ὅραμα, πάντων τῶν βροτῶν τὸ διάσωσμα·

Η τῶν Ἀγγέλων δυσωπεῖ σε Κύριε, πληθὺς ἑκάστοτε, τῶν Μαθητῶν δῆμος, Προφητῶν ὁ σύλλογος, Μαρτύρων καὶ Ὁσίων σου, διὰ τῆς Θεοτόκου, ἁμαρτημάτων συγχώρησιν, δώρησαι ἡμῖν ὡς φιλάνθρωπος·

www.tezaurliturgic.ro

Κανὼν τοῦ ἁγίου, οὗ ἡ ἀκροστιχίς,

Χριστοῦ Ἀδελφῷ, ᾆσμα δεύτερον πλέκω.

Ἦχος καὶ Εἱρμός. ὁ αὐτός.

Χριστοῦ ταῖς θείαις ἀστραπαῖς λαμπόμενος, μάκαρ Ἰάκωβε, τὸν νοητὸν ζόφον, τῆς ψυχῆς μου δίωξον, καὶ κόρας τῆς καρδίας μου, καταλάμπρυνον ὅπως, ἐν ὑμνῳδίαις δοξάσω σου, τὴν σεπτὴν καὶ θείαν πανήγυριν·

Ῥήτωρ πυρίπνους τῆς Χριστοῦ θεότητος, ἐδείχθης πάνσοφε, μίαν τῶν πυρίνων, γλωσσῶν εἰσδεξάμενος, τοῦ παναγίου Πνεύματος, καὶ ἐκήρυξας πᾶσι, τοῖς Ἰουδαίοις τὸν Κύριον, Υἱὸν Θεοῦ γνησιώτατον·

Ἰσχὺν ἐξ ὕψους ἐνδυθεὶς τὴν ἄμαχον, μάκαρ Ἰάκωβε, παρεμβολὰς πάσας, Ἰουδαίων ἔκλινας, καὶ τούτων καταβέβληκας, τὰ φρυάγματα πάντα, κατὰ Χριστοῦ ἐπαιρόμενα, ἀγχεμάχοις ὅπλοις τῆς χάριτος·

Θεοτοκίον.

Σύγχυσις λόγων λογισμῶν τε σκότωσιν, περικαλύπτουσι, τοὺς τὸν τοκετόν σου, Κόρη ἑρμηνεύοντας· ὃν γὰρ Μωσῆς ἑώρακεν, ἐν θυέλλῃ καὶ γνόφῳ, κεκαλυμμένον ἐγέννησας, καὶ ταῖς σαῖς ἀγκάλαις ἐβάστασας·

Ἕτερος Κανὼν τοῦ ἁγίου ἦχος δ'. Θεοφάνους.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Τὴν δόσιν τὴν ἀγαθὴν Ἰάκωβε, καὶ δῶρον τέλειον,

www.tezaurliturgic.ro

ἐκ τοῦ Πατρὸς τῶν φώτων τοῖς βροτοῖς, χορηγεῖσθαι διδάσκεις σαφῶς, ἧς μετασχεῖν Ἀπόστολε, τοὺς σὲ ὑμνοῦντας καθικέτευε·

Τῇ αἴγλῃ σὺ φωτισθεὶς Ἰάκωβε, τοῦ θείου Πνεύματος, καὶ σὺν αὐτῷ τοὺς νόμους ἐκτιθεὶς, Ἐκκλησίας ῥυθμίζεις ἐθνῶν, ὡς τοῦ Χριστοῦ Ἀπόστολος, ἱεροφάντορ παμμακάριστε.

Δόξα.

Χορείαν τῶν Ἀποστόλων πάνσοφε, σαφῶς ἐκόσμησας, ἀρχιερεὺς ὡς πρῶτος γεγονὼς, αὐτουργίᾳ τοῦ λόγου χρισθεὶς, ὡς μαθητὴς θεάδελφος, ἱεροκήρυξ μυστικώτατος·

καὶ νῦν.

Πηγήν σε τῶν ἰαμάτων ἔχοντες, ἀπαρυόμεθα, ὡς τὴν πηγὴν τεκοῦσαν τῆς ζωῆς, Θεοτόκε πανάχραντε, καὶ τῶν ψυχῶν τὴν ἴασιν, καὶ τῶν σωμάτων τὴν ἀνάκτησιν·

**Καταβασία.**

Ἀνοίξω τὸ στόμα μου, . . .

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ,

www.tezaurliturgic.ro

τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Ἱερᾶς πολιτείας, ἀποπεσὼν Ἄχραντε, παρασυνεβλήθην τοῖς κτήνεσι καὶ κατάκριτος, ὅλος γεγένημαι· ἡ τὸν Κριτὴν τετοκυῖα, πάσης κατακρίσεως ῥῦσαι καὶ σῶσόν με.

Στεναγμοὺς ἀνενδότους, καὶ ψυχικὸν δάκρυον, καὶ διηνεκῆ μοι, παράσχου Κόρη κατάνυξιν, ὅπως πενθήσω μου, τὰ συμφυέντα μοι πάθη, ἐξ ἀπροσεξίας μου Θεοχαρίτωτε·

Ἐπουράνιαι Τάξεις, Λειτουργικὰ πνεύματα, δῆμος Προφητῶν, Ἀποστόλων σου καὶ Μαρτύρων σου, σὺν τῇ Τεκούσῃ σε, ἐκδυσωποῦσιν οἰκτίρμον, τῷ λαῷ σου δώρησαι πταισμάτων ἄφεσιν·

Κανὼν τοῦ ἁγίου.

Τὴν πηγὴν τῆς σοφίας, σὺ ἐσχηκὼς ἔνδοξε, διδάσκαλον ζῶντα, ποταμοὺς διδαγμάτων ἀνέβλυσας, ἐκ τῆς κοιλίας σου, διηνεκῶς ἀλλομένους, καὶ Κόσμου κατήρδευσας πάντα τὰ πέρατα.

Ὁλικῶς ἀγαπήσας, τὸ ὀρεκτῶν ἔσχατον, ἐγκρατείᾳ ἄκρᾳ, καὶ ἀσκήσει συντόνῳ ἐκέχρησο, ὑπὲρ τοὺς ἄλ-

www.tezaurliturgic.ro

λους σου, συναποστόλους θεόφρον, καὶ τοῦτο κατείληφας νοῦ καθαρότητι·

Ὑπερβὰς τὴν δυάδα, τὴν ἐμπαθῆ ἔνδοξε, καὶ λυθεὶς τετράδος, στοιχειώδους νῦν, ὤφθης Ἰάκωβε, ἐπόπτης ἄμεσος, τῆς ἀνωτάτης Τριάδος, καὶ Θεὸς γεγένησαι

Θεοτοκίον.

Ἀκατάληπτον ὄντως, θαῦμα τὸ σὸν πέφυκεν· ὁ γὰρ ἐν τοῖς κόλποις, τοῖς πατρῴοις καθήμενος Ἄχραντε, ἐπὶ τῶν κόλπων σου, ὡς ἐπὶ θρόνου ἁγίου, σαρκοφόρος κάθηται, τίς οὐ θαυμάσεται;

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Εὐφραίνεται ἡ φυλή, ἡ τοῦ Ἰούδα ἐπὶ σοὶ σήμερον, ταῖς τοῦ Χριστοῦ βλέπουσα, σὲ μαρμαρυγαῖς απαστράπτοντα·

Ἀστέρα θεολαμπῆ, ἡ Ἐκκλησία τῶν ἐθνῶν ἔχουσα, σὲ εὐκλεῆ κήρυκα, θείαις διδαχαῖς σου λαμπρύνεται·

Δόξα.

Τὸν νόμον τὸν τῆς ζωῆς, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τέθεικας, ζωοποιῷ πνεύματι, σὺ νομοθετῶν καὶ φθεγγόμενος·

καὶ νῦν.

Ὃν ἔτεκες ἐν σαρκὶ, Παρθενομῆτορ ἐκ Πατρὸς λάμ-

www.tezaurliturgic.ro

ψαντα, τοῦτον ἁγνὴ Ἰάκωβος, ὡς Θεὸν τῶν ὅλων ἐκήρυττε·

Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, . . .

Κάθισμα. Ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Τὸν θεάδελφον δεῦτε χαρμονικῶς, ἐφυμνίοις ἐπαίνων οἱ εὐσεβεῖς, πάντες εὐφημήσωμεν, καὶ πιστῶς μακαρίσωμεν· τῆς Σιὼν γὰρ οὗτος, τῆς θείας πρωτόθρονος, ἐν Χριστῷ ἀνεδείχθη, καὶ ταύτην ἐφαίδρυνε, πάσαις ἐναρέτοις, ἐργασίαις καὶ λόγοις, θείοις καὶ χάρισι, καὶ θαυμάτων ἐνδείξεσι· πρὸς αὐτὸν οὖν βοήσωμεν, Χριστοκήρυξ Ἰάκωβε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου·

Δόξα καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

Ὠδὴ δ'. ὁ Εἱρμός.

Σύ μου Χριστὲ Κύριος, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω· τῇ δυνάμει σου δόξα φιλάνθρωπε·

Τὸ πονηρὸν, ἁμαρτιῶν μου χειρόγραφον, θείᾳ λόγχῃ, Πάναγνε διάῤῥηξον, τῇ κεντησάσῃ θείαν πλευρὰν, τοῦ ἐνανθρωπῆσαι, ἐκ σοῦ Παρθένε θελήσαντος, καὶ βίβλῳ με γραφῆναι, σωζομένων δυσώπει, τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον·

Ἵνα φωναῖς, χαριστηρίοις δοξάζω σε, ἵνα θείῳ, πόθῳ μεγαλύνω σε, τὴν τῷ μεγίστῳ σου τοκετῷ, πάντας σμικρυνθέντας, Πανάμωμε μεγαλύνασαν, μεγάλως ἁμαρτόντα, καὶ δεινῶς συμπτωθέντα, συγχωρήσεως Κόρη ἀξίωσον·

Νόμοι ἐν σοὶ, κεκαινοτόμηνται φύσεως, ὑπὲρ φύσιν, Λόγον γὰρ ἐκύησας· διό σε πίστει ἐκδυσωπῶ, τὸν ὑπὲρ τὴν φύσιν, τὴν ἀνθρωπίνην Πανάμωμε, πολλὰ ἡμαρτηκότα, καὶ Θεοῦ μακρυνθέντα, ἐπιστρέψαντα σῶσον πρεσβείαις σου·

www.tezaurliturgic.ro

Κανὼν τοῦ ἁγίου.

Σύ μου ἰσχὺς Κύριε.

Δεῦτε πιστοὶ, Ἀδελφοθέου τὴν ἄθλησιν, ὑμνῳδίαις ἱεραῖς τιμήσωμεν, καὶ τὸν αὐτὸν, Χριστὸν τὸν Θεὸν, ἐν γῇ καὶ ἐν πόλῳ, δοξάσαντα μεγαλύνωμεν, ὡς αἵματος ἐκχύσει, καὶ ἐν ἔργοις καὶ λόγοις, διὰ βίου παντὸς προδοξάσαντα·

Εὖγε τῆς σῆς, νουνεχεστάτης φρονήσεως, τοῦ Κυρίου ἀδελφὲ Ἰάκωβε· πραγματειῶν καὶ γὰρ ἁπασῶν, τὴν μεγίστην ὄντως, ἐπραγματεύσω θεόσοφε· ζωῆς γὰρ ἐπικήρου, καὶ αἱμάτων ὀλίγων, βασιλείαν ὠνήσω αἰώνιον·

Λόγῳ ἡμᾶς, τῆς ἀληθείας ἐν Πνεύματι, κυηθέντας, Θεὸς ἠρετίσατο, εἶναι σαφῶς, ὥσπερ ἀπαρχὴν, τῶν αὐτοῦ κτισμάτων, κατὰ τοὺς σοὺς λόγους πάνσοφε, θεόθεν διδαχθέντος, οὐρανίῳ μυήσει, τὰ τοιαῦτα θεόσοφα πράγματα·

Θεοτοκίον.

Φῶς ἐκ φωτὸς, ἐκ τοῦ Πατρὸς τὸν ἐκλάμψαντα, πρὸ αἰώνων, ἐπ' ἐσχάτων Δέσποινα, ὥσπερ λυχνία φωτοφανὴς, ἐγέννησας Κόρη, φῶς ἀληθὲς καὶ ἀπρόσιτον· ὃ πάντα καταλάμπει, νοερῶς καὶ φωτίζει εἰς τὸν Κόσμον ἐρχόμενον ἄνθρωπον.

www.tezaurliturgic.ro

Ἄλλος. Δι' ἀγάπησιν οἰκτίρμον.

Ἐπεβίβασας εἰς θάλασσαν σοῦ τοὺς ἵππους, τοὺς Ἀποστόλους σῶτερ, καὶ ἐφώτισαν τὰ ἔθνη, πρὸς τὴν σὴν ἐπίγνωσιν, ἑλκύσαντες Κύριε.

Ἀκηλίδωτον ὡς ἔσοπτρον δεδειγμένος, καὶ πρωτουργοὺς ἀκτῖνας τῆς ἀκτίστου Τριάδος, ἀκριβῶς δεξάμενος, τοῖς πᾶσιν ἐξέλαμψας.

Δόξα.

Στερεώματι τῆς πίστεως διαπρέπεις, ἐν τῇ λαμπρότητί σου, ὥσπερ ἥλιος μάκαρ, ἐκσοβῶν Ἀπόστολε, ἀγνοίας τὴν σκότωσιν·

καὶ νῦν.

Ὑποδὺς γαστέρα τὴν σὴν ὦ Θεομῆτορ, ὁ πρὸ αἰώνων Λόγος, γεννηθεὶς ἀποῤῥήτως, ἐκ Πατρὸς Ἰάκωβον, Ἀπόστολον δείκνυσιν.

**Καταβασία.**

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν, . . .

Ὠδὴ έ. ὁ Εἱρμός,

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι·

www.tezaurliturgic.ro

Γενεαὶ γενεῶν σε, τὴν ἀειμακάριστον νῦν μακαρίζουσιν· οὐρανῶν Δυνάμεις, ὡς τὰ κάτω τοῖς ἄνω συνάψασαν, εὐφημοῦσι μόνη, ἐν γυναιξὶν εὐλογημένη, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις·

Διαμένειν με σῶον, μὴ περιτρεπόμενον στάσεως κρείττονος, ἀλλ' εὐθυποροῦντα, καὶ Θεῷ τὰ εὐάρεστα πράττοντα, ἐνδυνάμωσόν με, τὸν ἀγαθὸν τεκοῦσα Λόγον, τὸν ἡμᾶς ἀλογίας ῥυσάμενον·

Ὁ τὸ αἷμά σου Λόγε, διὰ ὑπερβάλλουσαν ἐλέους ἄβυσσον, ἐν Σταυρῷ κενώσας, τῶν παθῶν μου τὴν ἄβυσσον ξήρανον, καὶ ἐν κατανύξει, σοὶ τῷ Θεῷ εὐαρεστῆσαι, διὰ τῆς Θεοτόκου ἀξίωσον·

Κανὼν τοῦ ἁγίου.

Ὡς ἀστὴρ ἑωσφόρος, ἐξανέτειλε Κόσμῳ ἡ θεία μνήμη σου, φωτίζουσα πάντας, τοὺς αὐτὴν ἐτησίως γεραίροντας, καὶ ἐξαιτουμένους, τὰς δραστικάς σου ἱκεσίας, πτερνιστὰ τῆς ἀπάτης Ἰάκωβε.

Ἁρπαγεὶς θεωρίας, εἰς ὑπέρφωτον γνόφον ἐθεολόγησας, ἐκ Πατρὸς τῶν φώτων, καταβαίνειν πᾶν δώρημα τέλειον, ἅπασιν ἀνθρώποις· ὢ στόματος θεοφορήτου! ὢ νοὸς ὑπὲρ ἥλιον λάμποντος!

Σοφίας οὐρανίου, βασιλείας τε θείας φρικτὰ μυ-

www.tezaurliturgic.ro

στήρια, γνῶναί σοι ἐδόθη, παρ' αὐτῆς θεοφόρε Ἰάκωβε, τῆς ἐνυποστάστου, Θεοῦ σοφίας τε καὶ Λόγου, ἐπὶ γῆς δι' ἡμᾶς χρηματίσαντος·

Θεοτοκίον.

Μακαρία ἐγένου, παμμακάριστε Κόρη ὡς τὸν μακάριον, Θεὸν συλλαβοῦσα, καὶ μακάριοι πάντες ὑπάρχουσιν, οἱ σὲ κατιδόντες· μακάριοι οἱ σὲ τεκόντες, καὶ οἱ σὲ ἐπαινοῦντες μακάριοι·

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Σὺ Κύριε φωτὸς, ἀσραπὴν τὸν Ἰάκωβον, ἀνέδειξας φρυκτωροῦσαν, καὶ βροτοὺς τῆς ἀγνοίας, καὶ σκότους ἀπαλλάττουσαν·

Σὲ Κύριε φωνῇ, ἐλευθέρᾳ ἐκήρυξεν, ὁ δίκαιος ἀδελφός σου, μιμητὴς καὶ τοῦ πάθους, ἐγένετο κτεινόμενος·

Δόξα.

Τίς βρότειός σοι νοῦς, ἐγκωμίων ἐφύμνιον, δυνήσεται προσκομίζειν, ἀρετῆς λαμπρυνθέντι, ταῖς χάρισιν Ἰάκωβε·

καὶ νῦν.

Σὲ θεῖον ἀληθῶς, εὑρηκὼς ἐνδιαίτημα, κατῴκησεν ὦ Παρθένε, τὴν ἡμῶν σωτηρίαν, ὁ Λόγος προμηθούμενος·

Καταβασία.

Ἐξέστη τὰ σύμπαντα, . . .

www.tezaurliturgic.ro

Ὠδὴ ϛ΄. ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Ἠλέηται διὰ σοῦ, ἡ φύσις τῆς ἀνθρωπότητος, τὸν ἐλεήμονα γὰρ, ἐκύησας Κύριον, ἐλεῆμον Πάναγνε· ὅθεν δυσωπῶ σε, τὴν ἐμὴν ψυχὴν ἐλέησον.

Τῶν Ἀσωμάτων Χριστὲ, τὰ τάγματα δυσωποῦσί, σε, Μαρτύρων τε Προφητῶν, καὶ τῶν Ἀποστόλων σου, διὰ τῆς Τεκούσης σε, τὸν λαόν σου σῶζε, ἀπὸ πάσης περιστάσεως.

Ἡ ἀγεώργητος γῆ, τὸν γεωργὸν ἡ κυήσασα, καὶ πάντων Δημιουργὸν, τὴν ὑλομανήσασαν, ψυχήν μου τοῖς πάθεσι, δεῖξον καρποφόρον, διὰ θείας ἐπιγνώσεως.

Κανὼν τοῦ ἁγίου.

Ἀκτῖσι καταστραφθεὶς, τῆς ἀρχιφώτου Θεότητος, καὶ φῶς τὸ αὐτολαμπὲς, ἐποπτεύσας ἔνδοξε, παρ᾽ ᾧ ἀνεβόησας, ἀλλαγὴ οὐκ ἔστιν, ἢ τροπῆς τι ἀποσκίασμα.

Δίκαιος κατ᾽ ἐξοχὴν, ἐκλήθης θεῖε Ἰάκωβε· δικαιοσύνης θεσμοὺς, καλῶς γὰρ ἐτήρησας, νόμου τε καὶ φύσεως, ἐκ νεότητός σου· ὦ δικαίων σεμνολόγημα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

Εἰς πᾶσαν ὡς ἀληθῶς, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, καὶ φῶς τῆς ἐπιστολῆς, τῆς σῆς περιήστραψεν, Ἐκκλησίαν ἅπασαν, τοῦ Χριστοῦ καὶ σώζει, τοὺς αὐτὴν ἀναγινώσκοντας·

Θεοτοκίον.

Ὑπέρτερος οὐρανὸς, τοῦ οὐρανοῦ ὤφθης Δέσποινα· ὃν γὰρ ἐκεῖνος ἁγνὴ, χωρῆσαι οὐ δύναται, σὺ ἐν τῇ κοιλίᾳ σου, ἀστενοχωρήτως, ὑπὲρ ἔννοιαν ἐχώρησας.

Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

Στολήν σε, τῆς νομικῆς ἐνέδυσε κρείττονα, καὶ ἱεράρχην δεικνύει, Ἀαρὼν τοῦ πάλαι τιμωτέραν, ὁ δι' οἶκτον εἰς ἀδελφότητά σε δεξάμενος·

Ὄργανον, ἐνεργείαις κρουόμενον Πνεύματος, πᾶσαν διάνοιαν θέλγον, καὶ Θεῷ προσάγον τοὺς σωζομένους, ἐκ δουλείας, χαλεπωτάτης γέγονας ἄριστος·

Δόξα.

Διψήσας, τοῦ τῆς ζωῆς ἐξέπιες νάματος, καὶ ποταμοὺς ἀναβλύζεις, θεοῤῥημοσύνης, τῆς σῆς κοιλίας, ἀλλομένους, τῇ Οἰκουμένῃ τῷ θείῳ Πνεύματι·

καὶ νῦν.

Εὔα μὲν, παρακοῇ τὸν θάνατον ἔτεκεν, ἡ Θεοτόκος ζωὴν δὲ, συλλαβοῦσα τέτοκε τὴν ἀγήρω, καὶ τὸ πάλαι ὑπὲρ πάντων ἀπέτισεν ὄφλημα·

www.tezaurliturgic.ro

Καταβασία.

Τὴν θείαν ταύτην, . . .

Κοντάκιον ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος, ἐπιδημήσας πρὸς ἡμᾶς, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, Ἰάκωβε θεσπέσιε, πρῶτόν σε ἀνέδειξε τῶν Ἱεροσολύμων, ποιμένα καὶ διδάσκαλον, καὶ πιστὸν οἰκονόμον, τῶν μυστηρίων τῶν πνευματικῶν· ὅθεν σὲ πάντες τιμῶμεν Ἰάκωβε.

Ὁ οἶκος.

Τὸν γόνον σε τοῦ Ἰωσὴφ, καὶ Ἱεροσολύμων τὸν πρῶτον ἱεράρχην, Ἰάκωβε θεόπτα, καὶ τοῦ Κυρίου ἀδελφὸν, ὕμνοις ἐγκωμίων ἀνυμνοῦμεν εὐσεβῶς, καὶ πίστει ἀνακράζομεν· δώρησαι ἡμῖν δώρημα τέλειον, ἐκ τοῦ Πατρὸς τῶν φώτων· καὶ ἀπέλασον τὴν θλίψιν τὴν ἐπερχομένην, καὶ ἐνεστῶσαν ἐκ πλήθους πταισμάτων· ἐπῆραν γὰρ οἱ ἐχθροὶ καθ' ἡμῶν τὴν πτέρναν, καὶ ἐκύκλωσαν ἡμᾶς Ἰσμαηλῖται· ὧν θραῦσον ταχὺ τὰ τόξα ἱεροφάντορ, ἵνα σὲ πάντες τιμῶμεν Ἰάκωβε.

Τῷ αὐτῷ μηνὶ, κγ'. τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου καὶ πρώτου ἱεράρχου τῶν Ἱεροσολύμων·

Κληθεὶς ἀδελφὸς τοῦ κατακρίτου ξύλῳ,
Θνήσκεις δι' αὐτὸν, παμμάκαρ κρουσθεὶς ξύλῳ,
Ἐσθλὸν ἀδελφόθεον τριτάτῃ ξύλῳ εἰκάδι πλῆξαν.

Οὗτος ὁ ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος πρῶτος Ἐπίσκοπος ἐν Ἱε-

www.tezaurliturgic.ro

ροσολύμοις ἐγένετο, παρ' αὐτοῦ τοῦ Κυρίου χειροτονηθεὶς, καὶ πρῶτος τὴν θείαν Λειτουργίαν ἔγραψε καὶ ἐξέθετο, παρ' αὐτοῦ τοῦ Χριστοῦ ταύτην διδαχθείς· ἥν τινα Λειτουργίαν ὕστερον συντομωτέραν ἐποίησεν ὁ μέγας Βασίλειος, καὶ μετ' αὐτὸν ὁ θεῖος Χρυσόστομος, διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ποιμαίνων δὲ τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν, καὶ πολλοὺς διδάσκων ἐκ τῶν Ἰουδαίων καὶ τῶν Ἑλλήνων, καὶ ἐπιστρέφων αὐτοὺς ἐπὶ τὸν Κύριον, εἰς ὀργὴν ἐκίνησε τοὺς Ἰουδαίους· κρατήσαντες οὖν αὐτὸν ἔῤῥιψαν ἀπὸ τοῦ ἄκρου τοῦ ἱεροῦ, καὶ ἀπέκτειναν.

Περὶ δὲ τοῦ λέγεσθαι ἀδελφόθεος, φέρεται τοιοῦτος λόγος ἐκ παραδόσεως. Τοῦ μνήστορος Ἰωσὴφ μερίζοντος τὴν γῆν αὐτοῦ τοῖς ἐκ προτέρας γυναικὸς παισὶ, καὶ βουλομένου μερίδα ποιήσασθαι καὶ τῷ ἐκ τῆς ἁγίας Παρθένου Υἱῷ καὶ Θεῷ, οἱ μὲν ἄλλοι οὐ κατεδέξαντο, ὁ δὲ Ἰάκωβος λαβὼν αὐτὸν εἰς τὴν μερίδα συγκληρονόμον, ἐκλήθη οὐ μόνον ἀδελφόθεος, ἀλλὰ καὶ δίκαιος.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς· Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτὲ, διὰ τοῦτο οἱ Παῖδες ἐν τῇ καμίνῳ, ἀγαλλομένῳ ποδὶ, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν·

Ἀῤῥήτῳ κυήσει σου, φρικτῶν ἀῤῥήτων ἡμᾶς ἠξίωσας, Θεοτόκε πραγμάτων· Διὸ φρικτῆς με ῥῦσαι κολάσεως, καὶ τῆς ἀῤῥήτου χαρᾶς καταξίωσον, ἵνα ὑμνῶ σε ἀεὶ τὴν πολυΰμνητον·

Ῥαθύμως τὸν βίον μου, ἐκδαπανήσας ἄκαρπος ἔμει-

www.tezaurliturgic.ro

να, καὶ πτοοῦμαι τὴν δίκην, καὶ τῆς γεέννης τὸ πῦρ τὸ ἄσβεστον· ἡ πῦρ τεκοῦσα, Παρθένε, τὸ ἄστεκτον, πρόστηθι ῥῦσαί με πυρὸς τῇ μεσιτείᾳ σου·

Θαυμάτων ἐπέκεινα, τὸ μέγα θαῦμα τῆς σῆς κυήσεως· διὰ τοῦτο βοῶ σοι· Ἁγνὴ Παρθένε Θεογεννήτρια, τὰ σὰ ἐλέη ἐπ' ἐμοὶ θαυμάστωσον, καὶ τῆς μελλούσης ὀργῆς ῥῦσαι καὶ σῶσόν με.

Κανὼν τοῦ ἁγίου.

Οἱ ἐκ τῆς Ἰουδαίας.

Τίς μή σε ἐπαινέσει; τίς μὴ μακαρίσει σε θεῖε Ἰάκωβε; μητρὸς γὰρ τοῦ Κυρίου, υἱὸς κατὰ τὸν νόμον, ἐλογίσθης παμφίλτατος· καὶ ἐλειτούργεις αὐτῇ ἐν καθαρᾷ καρδίᾳ·

Ἐτεθνήκεις τῷ Κόσμῳ, καὶ τὴν Ἰησοῦ περιέφερες νέκρωσιν, ἀεὶ ἐν τῇ σαρκί σου, ὡς ἂν καὶ ζωὴ τούτου, ἐν αὐτῇ φανῇ ἔνδοξε· ᾧ καὶ ἐβόας θερμῶς, Θεὸς εὐλογητὸς εἶ·

Ῥητορεύουσα γλῶσσα, ῥυθμῷ καὶ μεθόδοις τῆς τέχνης βρενθύουσα, οὐδόλως ἐξισχύει, ἐγκώμιόν σοι πλέξαι, θεοφόρε Ἰάκωβε· σὺ γὰρ Χριστοῦ ἀδελφὸς, ἐκλήθης ἐπαξίως·

Θεοτοκίον.

Ὅλος πλήρης ὑπάρχων, ἀκενώτως Πάναγνε ἐν σοὶ κεκένωται, Θεοῦ ὁ Θεὸς Λόγος, πληρώματός τε τοῦ-

www.tezauliturgic.ro

του, ἡμεῖς πάντες μετέσχομεν, καὶ ἐκβοῶμεν αὐτῷ, Θεὸς εὐλογητὸς εἶ·

Ἄλλος. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ὡς ἐν καμίνῳ τῷ ὑπερῴῳ πυρσευόμενος, θείου παρουσίᾳ Πνεύματος μυστικῶς, ὁ Ἰάκωβος ἐβόησεν, εὐλογημένος εἶ Ἰησοῦ ὁ Θεός μου καὶ Κύριος·

Ἡ ἐκ τοῦ ὕψους πνοὴ βιαία τὸν Ἰάκωβον, γλώσσῃ πυριμόρφῳ φθέγγεσθαι τοῦ Θεοῦ, μεγαλεῖα παρεσκεύασεν, εὐλογημένος εἶ Ἰησοῦ ὁ Θεός μου καὶ Κύριος·

Δόξα.

Τῆς θεωρίας τῆς πρακτικῆς ἐκτιθέμενος, δέλτον ἐκ πυξίδος ὥσπερ πνευματικῆς, τοὺς ἀνθρώπους ἐβελτίωσας, εὐλογημένος εἶ ὁ Θεός μου κραυγάζων καὶ Κύριος·

καὶ νῦν.

Ὁ ἀναπλάσας Κόσμον ἐν μήτρᾳ σου Θεόνυμφε, θείας λειτουργίας δείκνυσι τελεστὴν, τὸν Ἰάκωβον κραυγάζοντα, εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα·

Καταβασία.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει, . . .

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος,

www.tezaurliturgic.ro

τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τὸν Δημιουργὸν καὶ Λυτρωτὴν ἀνεβόα· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας·

Νενεκρωμένην ζώωσον, συμπτωθεῖσαν ἀνάστησον, τετραυματισμένην τὴν ψυχήν μου ἴασαι, τὸν νοῦν μου εἰρήνευσον, τῶν πειρασμῶν τὰ κύματα πράϋνον Παρθένε, καὶ βοῶντά με σῶσον· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας·

Ὡς ὁ Ληστὴς κραυγάζω σοι, μνήσθητί μου φιλάνθρωπε, κλαίω ὡς ἡ Πόρνη, καὶ βοῶ σοι ἥμαρτον, ὡς πάλαι ὁ Ἄσωτος, μετανοοῦντα δέξαι με, τὸν ἀπεγνωσμένον, διὰ τῆς Θεοτόκου, προθύμως ἵνα μέλπω· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας·

Ἱκετικῶς βοῶμέν σοι, Θεοτόκε πανύμνητε, μετὰ τῶν ἀπείρων, νοερῶν Δυνάμεων, Μαρτύρων Ὁσίων τε, καὶ Ἀποστόλων καὶ Προφητῶν, ποίησον πρεσβείαν, ὑπὲρ πάντων τῶν πίστει, ἐνθέως μελῳδούντων· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας·

Κανὼν τοῦ ἁγίου.

Νοῦν τοῦ Χριστοῦ πεπλούτηκας, ἱεράρχα Ἰάκωβε

www.tezaurliturgic.ro

οὐ τοῦ νοῦ ἐκείνου, μεταβάντος ἔνδοξε, εἰς τὸν σὸν νοῦν καθ' ὕπαρξιν, οἷά περ ἔφη Μάξιμος· οὐδὲ τοῦ σοῦ νοῦ, εἰς τὸν Χριστοῦ ἀμοιβαίως· κατὰ Χριστὸν δὲ πάντα, καὶ νοῶν τε καὶ λέγων, καὶ μετ' αὐτοῦ ἓν πνεῦμα, ὑπάρχων θεοφόρε.

Παμπόλλοις σε χαρίσμασιν, ὁ Χριστὸς ἐστεφάνωσεν· ἅλας γάρ τῆς γῆς σε, καὶ φῶς βροτοῖς ἔδειξεν, Ἀπόστολον μέγιστον, καὶ ἱεράρχην πρώτιστον, πόλιν ὑψηλὴν, καὶ διαυγέστατον λύχνον, φωτίζοντα τὸ σκότος, οἰκουμένης ἁπάσης· καὶ τελευταῖον πάντων, μάρτυρα ἀληθείας·

Λαὸς ὁ σκληροτράχηλος, Ἰουδαίων Ἰάκωβε, ἀπὸ ὑψηλοῦ, τοῦ πτερυγίου βάλλει σε, εἰς γῆν προσευχόμενον, ὑπὲρ αὐτῶν καὶ λέγοντα· Κύριε αὐτοῖς, τὴν ἁμαρτίαν μὴ στήσῃς· καὶ οὕτω σε ἐκπέμπει, εἰς σκηνὰς οὐρανίους, μεθέξοντα τῆς δόξης, Θεοῦ τοῦ ἀοράτου·

Θεοτοκίον.

Ἐν γενεαῖς μὲν γέγονε, ταῖς ἀρχαίαις τεράστια, ἀλλ' ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη πώποτε, τοιοῦτον τεράστιον, οἷον ἐν σοὶ τετέλεσται, Δέσποινα ἁγνή· ἀσπόρως γὰρ συλλαμβάνεις, ἀφθόρως ἀποτίκτεις, καὶ παρθένος θηλάζεις, τὸν τροφοδότην πάντων, καὶ ποιητὴν τοῦ Κόσμου·


ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro

Ἄλλος. Χεῖρας ἐκπετάσας.

Χεῖρας ἐκπετάσας κραταιὰς, τοὺς Ἀποστόλους σου Σῶτερ εὐλόγησας, ἐπανερχόμενος Δέσποτα, πρὸς τὸν ἄναρχον Πατέρα σου, καὶ παρεσκεύασας αὐτοὺς μετ' εὐφροσύνης βοᾷν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὥς περ ἐπηγγείλω ἀψευδῶς, τοῖς Ἀποστόλοις σου Πνεῦμα ἀπέστειλας· τούτου Ἰάκωβος Δέσποτα, τῇ λαμπρότητι λαμπόμενος, τὴν Οἰκουμένην ἀστραπαῖς καταγλαΐζει φαιδρῶς· εὐλογεῖτε πάντα τὰ ἔργα κραυγάζων τὸν Κύριον·

Δόξα.

Σοφίαν Ἰάκωβε σοφὲ, τὴν ἐνυπόστατον ἔσχες διδάσκαλον, μυσταγωγοῦσάν σε ἄῤῥητα, καὶ ἀνέκφραστα μυστήρια, καὶ πρὸς εὐσέβειαν λαοὺς μέλπων διήγειρας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον·

καὶ νῦν.

Ὄρος ἐκφανθεῖσαν νοητὸν, Παρθένε ἄχραντε Προφήτης βλέπει σε· ἐκ σοῦ ὑπέρτιμος λίθος γὰρ, ἐκτμηθεὶς περιεσώσατο, τὴν Οἰκουμένην ἀληθῶς ἐνθέως ψάλλουσαν, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον·

Καταβασία.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ· · ·

www.tezaurliturgic.ro

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόῤῥητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ Ὕψιστος, ἑκὼν κατῆλθε μέχρι καὶ σώματος, Παρθενικῆς ἀπὸ γαστρὸς, γενόμενος ἄνθρωπος· διὸ τὴν Ἄχραντον Θεοτόκον, οἱ πιστοὶ μεγαλύνομεν·

Ὢ θεία κλίνη Σολομὼν, ἣν κυκλοῦσι δυνατοὶ νῦν ἑξήκοντα, ῥήσει τῆς θείας Γραφῆς, ἐν ᾗ ὁ Λόγος ἐπανεπαύσατο, ταῖς μυριάσι με ἀεὶ, δαιμόνων κλονούμενον, ἄτρωτον φύλαξον, τῇ δυνάμει σου Ἁγνὴ Ἀειπάρθενε·

Στάζουσα θεῖον γλυκασμὸν, τῶν ἁπάντων γλυκασμὸν ἡ κυήσασα, ἰῷ τοῦ ὄφεως, τὴν φαρμαχθεῖσαν ψυχήν μου γλύκανον, ἀλλοτριοῦσά με πικρᾶς, ἁμαρτίας πάντοτε, τῇ μεσιτείᾳ σου, προστασία τῶν πιστῶν ἀκαταίσχυντε·

Ἥλιε δόξης Ἰησοῦ τὴν ἀθλίαν μου ψυχὴν φωταγώγησον, ταῖς παρακλήσεσι, τῆς σὲ τεκούσης Ἁγνῆς Θεόπαιδος, τῶν Ἀσωμάτων Λειτουργῶν, σεπτῶν Ἀποστόλων σου, Ἱεραρχῶν, Προφητῶν, καὶ Μαρτύρων εὐκλεῶν καὶ Ὁσίων σου·

Κανὼν τοῦ ἁγίου.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Κατέλιπες τὰς κάτω διατριβὰς, καὶ συνήφθης τοῖς

www.tezaurliturgic.ro

ἄνω Ἰάκωβε, ὅπου χοροί, Ἀποστόλων θείων καὶ Προφητῶν, καὶ ἀθλητῶν ὑπάρχουσι, καὶ πάντων Ἁγίων, ὅπου ἡ σή, βασίλισσα καὶ μήτηρ, σὺν τῷ Υἱῷ καὶ Κτίστῃ, εἰς τοὺς αἰῶνας βασιλεύουσιν.

Ὡς θῦμα καθαρόν τε καὶ ἱερόν, ὁ Χριστὸς τὸ σὸν αἷμα ἐδέξατο, ἐν οὐρανοῖς, προσφορὰν ὡς ἄμωμον ἐκλεκτήν, ὡς ἀρωματοσύνθετον μύρον, ὡς εὐπρόσδεκτον ἀπαρχήν· διὸ καὶ βασιλείας, αὐτοῦ τῆς αἰωνίου, συγκληρονόμον σε εἰργάσατο·

Ἐνώπιον Τριάδος τῆς ἀρχικῆς, παριστάμενος θεῖε Ἰάκωβε, καὶ τῆς σκηνῆς, λειτουργὸς ὑπάρχων τῆς ἀληθοῦς, θέσει Θεὸς γενόμενος, καὶ φωτὸς πληρούμενος τριλαμποῦς, πρεσβεύεις ὑπὲρ πάντων, τῶν σοὶ ὁμωνυμούντων, καὶ εὐφημούντων σου τὴν ἄθλησιν·

Θεοτοκίον.

Ὑμνῶ σε τὴν Πανύμνητον ἀληθῶς, μεγαλύνω σε τὴν πολυύμνητον, ἣν ἀνυμνεῖ, ὕμνοις ἀσιγήτοις πᾶσα πνοή, τεκοῦσαν ὑπερύμνητον, λόγον ὃν ὑμνοῦσιν ἐν οὐρανοῖς, χίλιαι χιλιάδες, μύριαι μυριάδες, ἐν φλογεροῖς ἀΰλοις στόμασιν·

Ἄλλος. Λίθος ἀχειρότμητος.

Δεῦτε τὸν πρωτόθρονον πάντες, τῆς Ἐκκλησίας τὸν φωστῆρα, ἱεροῖς Ἰάκωβον ὕμνοις, ὡς ἱεράρχην καὶ

www.tezaurliturgic.ro


θεῖον κήρυκα, τὸν φερωνύμως δίκαιον, ὀνομασθέντα μεγαλύνωμεν·

Θείας κοινωνὸν ὡς φανέντα, ἀτελευτήτου βασιλείας, καὶ Θεοῦ κληθέντα ἀδελφὸν, καὶ πολιτείαν ἐπαληθεύουσαν, προσηγορίᾳ δείξαντα, σὲ μεγαλύνομεν Ἰάκωβε.

Δόξα.

Θρόνῳ παριστάμενος μάκαρ, στεφανηφόρος τῆς Τριάδος, πίστει τοὺς τιμῶντάς σε πόθῳ, τῶν ἀκηράτων κατατρυφῆσαι γερῶν, ἀρχιερεῦ Ἰάκωβε, τὸν σὸν Δεσπότην καθικέτευε·

καὶ νῦν.

Σὺ τὸν ἐκ Παρθένου τεχθέντα, ἀπειρογάμως θεοφάντορ, ταῖς μυσταγωγίαις σου σαφῶς, Θεὸν διδάσκεις σεσαρκωμένον Λόγον· εἰς ὃν περ καὶ πιστεύοντες, νῦν ἐπαξίως μεγαλύνομεν.

**Καταβασία.**

Ἅπας γηγενής· · ·

Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Λάμπων φωτὶ τῶν ἔργων σου, παρεστὼς τῇ Τριάδι, ἐν παῤῥησίᾳ πρέσβευε, οἷα χάριτι πέλων, καὶ ἀδελφὸς τοῦ Κυρίου, νοητὸν φῶς ἀπαστράψαι, καρδίαις τῶν τελούντων σου, τὴν ὑπέρφωτον μνήμην, ἱερουργέ· ὅλην

www.tezaurliturgic.ro

γὰρ ἐξ ὕψους τοῦ Παρακλήτου, Ἀπόστολε Ἰάκωβε, ὑπεδέξω τὴν αἴγλην·

Ὅμοιον.

Ὡς ἱεράρχης πρώτιστος, τῆς καινῆς Διαθήκης, ὡς μέγιστος Ἀπόστολος, ὡς σοφὸς ὑποφήτης, καὶ μάρτυς ὢν ἀληθείας, παρὰ πάντας πλουτήσας, ἐξαίρετον ἀξίωμα, ἀδελφὸς τοῦ Κυρίου, νῦν πρὸς αὐτὸν, λίθοις ἀναιρούμενος μετετέθης· παρ' οὗ ἡμῖν Ἰάκωβε, λύσιν αἴτει πταισμάτων·

Θεοτοκίον. Ὅμοιον.

Ἡ φοβερὰ τῆς κρίσεως, καὶ μεγάλη ἡμέρα, νῦν ἐπὶ θύρας ἕστηκεν· ὅρα πρόσεχε νῆφε, ψυχή μου καὶ ἐκ καρδίας, πρόσπεσον τῇ Παρθένῳ, καὶ μόνῃ Θεομήτορι, δάκρυσιν ἐκβοῶσα· πάσης ἁγνὴ, τιμωρίας ῥῦσαί με δυσωπῶ σε, καὶ δεξιοῖς προβάτοις με, σύνταξον τοῦ Υἱοῦ σου·

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα δ'. προσόμοια. ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν εὐσεβούντων τὰ πλήθη νῦν ἱερὰν ἑορτὴν, χαρμονικῶς τελοῦντες, ἀλαλάξωμεν πάντες, πιστῶς ἀνευφημοῦντες, ψαλμοῖς καὶ ᾠδαῖς, τὸν Θεάδελφον σήμερον, καὶ μαθητὴν τοῦ Κυρίου, ὅς τις ἀεὶ, ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς·

Τῆς κατὰ σάρκα Κυρίου ἐπιδημίας σοφὲ, ἀδελφὸς

www.tezaurliturgic.ro

ἀνεδείχθης, μαθητὴς καὶ αὐτόπτης, τῶν θείων μυστηρίων, φυγὰς σὺν αὐτῷ, ἐν Αἰγύπτῳ γενόμενος, σὺν Ἰωσὴφ τῇ μητρί τε τοῦ Ἰησοῦ, μεθ' ὧν πρέσβευε σωθῆναι ἡμᾶς·

Τῶν Ἀποστόλων ὁ δῆμος σὲ ἐξελέξατο, ἱερατεύειν πρῶτον, ἐν Σιὼν τῇ ἁγίᾳ, Χριστῷ τῷ εὐεργέτῃ, ὡς ὄντα αὐτοῦ, τῆς κατὰ σάρκα γεννήσεως, καὶ ἀδελφὸν συνοδίτην καὶ ὀπαδὸν, τῶν ἰχνῶν αὐτοῦ Ἰάκωβε·

Τὸν Ἀδελφόθεον πάντες ἀνευφημήσωμεν, ὡς ἱεράρχην ὄντα, μαρτυρίῳ δὲ πάλιν, ἐμπρέψαντα γενναίως· οὗ ταῖς εὐχαῖς, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ δι' ἡμᾶς ἀδελφὸς χρηματίσας αὐτοῦ, σῶσον πάντας τοὺς ὑμνοῦντάς σε·

Δόξα. ἦχος ά. Βυζαντίου.

Ἐν τῇ πυρίνῃ αἴγλῃ τοῦ θείου Πνεύματος φωτισθεὶς, τῆς εὐσεβείας ὤφθης θεῖος ζηλωτὴς, Ἀδελφόθεε Ἰάκωβε· ὅθεν καὶ στολήν σε νομικῆς ἱερωσύνης, ὡς Ἀαρὼν τὸ πάλαι, τιμιωτέραν ἐνέδυσεν, ὁ δι' οἶκτον εἰς ἀδελφότητα δεξάμενος· αὐτὸν ἱκέτευε, Ἀποστόλων ἔνδοξε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν·

καὶ νῦν.

Ἁγιωτέρα ἁγίων πασῶν δυνάμεων, τιμιωτέρα πάσης κτίσεως Θεοτόκε, Δέσποινα τοῦ κόσμου, σῶσον

www.tezaurliturgic.ro

ἡμᾶς, ὡς τὸν Σωτῆρα κυήσασα, ἀπὸ παντοίων πταισμάτων καὶ ὀδυνῶν, καὶ κινδύνων ταῖς πρεσβείαις σου·

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ καὶ ἐκ τοῦ Κανόνος τοῦ ἁγίου ᾠδὴ γ΄. καὶ ς΄. Προκείμενον τοῦ Ἀποστόλου. ἦχος πλ. δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ στιχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον... Ἀλληλούϊα, γ΄. ἦχος ά. Τὸ στόμα μου λαλήσει σοφίαν. στιχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν πατρίδα αὐτοῦ.... Κοινωνικόν, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ..

Μεγαλυνάρια τοῦ Ἁγίου.

Πρῶτος χρηματίσας ἀρχιερεὺς, τὴν ἁγίαν πόλιν ἐκληρώσω παρὰ Χριστοῦ, ἣν ῥῦσαι ἐκ κινδύνων Ἰάκωβε παμμάκαρ, καὶ ταύτην περιφρούρει ἀνεπηρέαστον·

Ἕτερον,

Τοῦ Πατρὸς τῷ Λόγῳ μαθητευθεὶς, θείων τε αὐτόπτης, μυστηρίων ἀναδειχθεὶς, ἐν Σιὼν ποιμαίνεις τὴν Ἐκκλησίαν πρῶτος, καὶ λειτουργίαν γράφεις πρῶτος Ἰάκωβε·

www.tezaurliturgic.ro

# ΑΝΑΠΛΗΡΩΣΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

## ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ,

ΨΑΛΛΟΜΕΝΗΣ ΚΑΤΑ ΤΗΝ Δ^ην^ ΤΟΥ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ,

ἐτήσιον ἑορτὴν

**ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΣΧΟΛΗΣ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ.**

Ἐκ τοῦ χειρογράφου τοῦ εὑρισκομένου ἐν τῇ μεγίστῃ Λαύρᾳ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν ΣΑΒΒΑ τοῦ ἡγιασμένου.

Εἰς τὸ Λυχνικὸν τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ ὁσίου γ΄. ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐμυήθης καθαρῶς, τὴν τῶν ὄντων γνῶσιν θεόφρον, καὶ κατενόησας, κόσμου τῆς τερπνότητος, τὸ ἀνυπόστατον, καὶ μελλόντων τὸ μόνιμον, σοφὲ Ἰωάννη, τότε πάντα πέπρακας, καὶ τὸν πολύτιμον, ὄντως, μαργαρίτην ἐκτήσω, Χριστὸν τὸν Θεὸν θεοσόφως, ἔμπορος καθάπερ ἐμπειρότατος.

Ὅτε τῆς σοφίας τὸν βυθὸν, νοῒ καθαρῷ Ἰωάννη, σὺ ἐξηρεύνησας, τότε ἅπαν νόημα νόθον καὶ ἔκφυλον, ὡς ἐχέφρων ἐξέβαλες, δογμάτων δὲ θείων, πλοῦτον ἀναφαίρετον, τῇ Ἐκκλησίᾳ Χριστοῦ, μάκαρ συνελέξω παν-

www.tezaurliturgic.ro


σόφως, εὐαγγελικῶς θεοῤῥῆμον· ὅθεν ἐπαξίως σε γεραίρομεν·

Θότε τῆς εἰκόνος τοῦ Χριστοῦ, δυσσεβῶς ἀθέτησις ἔφυ, καὶ τῆς παρθένου μητρὸς, πάντων τῶν ἁγίων τε, τότε ὑπέρμαχον, τὸ ὀρθόδοξον σύστημα, ἐπλούτισε μέγαν, ζήλῳ πυρακτούμενον, τῆς εὐσεβείας σε, μέχρις Ἰωάννη αἱμάτων, ἀντικαθιστάμενον πάτερ, πρὸς τὴν ἁμαρτίαν διὰ πίστεως.

Ἕτερα ὅμοια τῆς ἁγίας Βαρβάρας· ζήτει αὐτὰ ἐν τῷ Μηναίῳ.
Δόξα τοῦ ἁγίου ἦχος πλ. δ΄.

Λαμπρῶς πανηγυρίσωμεν σήμερον, ὦ φιλέορτοι, χορεύσωμεν ἐν ὕμνοις, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐπὶ τῇ ἐτησίῳ πανηγύρει τοῦ χαριτωνύμου ὑμνογράφου· οὗτος γὰρ ἀνεδείχθη μουσικώτατος κύκνος, τερετίζων ᾄσματα, καὶ ὑπὲρ μέλι γλυκύτερα· λύρα παναρμόνιος, καὶ εὐκέλαδος κιθάρα, ὄργανον κρουόμενον ταῖς θεϊκαῖς ἐπιπνοίαις τοῦ ἁγίου Πνεύματος· καὶ σάλπιγξ χρυσόφωνος, καὶ χελιδὼν ὡραιοτάτη, καὶ εὔλαλος ἀηδὼν, δαβιτικὴ κιννύρα καὶ ψαλτήριον δεκάχορδον, καὶ σειρίνιος γλῶσσα πολύφθογγος· στόμα χρυσοςόλιςον καὶ πυρίπνουν, καταφλέγον ἅπασαν τῶν αἱρετικῶν κακόνοιαν, καταφωτίζον δὲ πᾶσαν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ τοῖς μελιῤῥύτοις ᾄσμασιν· ὃν καθικετεύσωμεν πρεσβεύειν ἀπαύςως τῷ ἐλεήμονι Θεῷ, ὑπὲρ τῶν πίστει τελούντων τὴν πάνσεπτον μνήμην αὐτοῦ·

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον.

Ὁ βασιλεὺς τῶν οὐρανῶν· . . .

Εἴσοδος. Τὸ, φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα ὁσιακά.
Εἰς τὴν Λιτὴν, Ἰδιόμελα τοῦ ὁσίου. ἦχος ά.

Ἀξιοχρέως τιμῶμέν σε, τῆς Ἐκκλησίας τὰ θρέμματα, Ἰωάννη θεόσοφε· τὸ μὲν, ὡς διδάσκαλον λαμπρὸν, καὶ κήρυκα τῆς πίστεως· τὸ δὲ, ὡς κλέος ἱερέων, καὶ ἀσκητῶν κανόνα, καὶ ὁμολογητὴν τῆς εὐσεβείας ἀληθέστατον· καὶ πρὸς τούτοις ὡς φίλον τῆς Θεομήτορος, καὶ λιγυρὸν ὑμνῳδὸν τῶν μεγαλείων αὐτῆς, καὶ τῆς θείας δόξης τοῦ μονογενοῦς Υἱοῦ αὐτῆς, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· μεθ' ἧς αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Φωστῆρες δύω παμφαεῖς ἐξ ἀνατολῶν ἡλίου σήμερον νοητῶς ἀνατέλλουσιν, Ἰωάννης τῶν ἐνθέων λογίων ἡ χάρις, καὶ Κοσμᾶς ὁ τῶν θείων ᾀσμάτων κόσμος· καὶ πάντων τὰς καρδίας καταυγάζοντες, εὐφραίνουσι τοῖς ἐναρμονίοις αὐτῶν καὶ φωταυγέσι μελίσμασιν· οὓς καὶ ἡμεῖς ἐκμιμούμενοι, μελῳδικῶς εὐφημήσωμεν· πρεσβεύουσι γὰρ ἀεὶ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ'.

Ὥσπερ μέλισσα φιλεργὸς, πάντων τῶν ἁγίων τοὺς λόγους διελθὼν, συνελέξω τὰ κάλλιστα, χαριτώνυμε θεόσοφε· καὶ ἄρδην πάντα συνθέμενος, ὡς ἀπὸ

www.tezaurliturgic.ro

σίμβλου γλυκύτητος, ἄῤῥητον ἡδονὴν ἀποστάζεις, καὶ ὡς κηρίον μέλιτος, φωτισμὸν θεογνωσίας παρέχεις τοῖς ὀρθῶς ἐφεπομένοις, τῇ ἐνθέῳ θεολογίᾳ σου.

Ἦχος δ'.

Τὴν θεοτερπῆ φιλαδελφίαν χριστομιμήτως Ἰωάννη ἀσπασάμενος, ὄργανον πρὸς θεογνωσίαν, τὰ τῆς θύραθεν σοφίας χρήσιμα, τοῖς ἀνθρώποις συντόμως ἐξέδωκας· μεθ' ὃ, τὰ τῆς εὐσεβοῦς θεολογίας μυστήρια κατὰ τάξιν συνέγραψας, τά τε τῆς κατὰ Χριστὸν οἰκονομίας ὡς πιστὸς οἰκονόμος συνθεὶς, τῶν αἱρέσεων τὴν βλάβην ἐναργῶς ἐθριάμβευσας· διό περ ὡς πηγὴν γνώσεως τὴν ἱεράν σου βίβλον κατέχοντες, καὶ τὰς ψυχὰς ἐνθέως ἐξ αὐτῆς ἀρδευόμενοι, ἐκ δυνάμεως εἰς δύναμιν εὐχερῶς ἀναγόμεθα, καὶ ἀπὸ δόξης εἰς δόξαν, εὐκλεῶς ποδηγούμεθα· τὴν Τριάδα ὀρθοδόξως θεολογοῦντες, καὶ τὸν ἕνα τῆς Τριάδος Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ Θεὸν καὶ ἄνθρωπον καταγγέλλοντες, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. ά.

Τὰς πλεκτάνας τῶν δεινῶν αἱρέσεων, Ἰωάννη πανόλβιε, τῷ τμητικῷ τῶν δογμάτων σου ξίφει τελείως διέλυσας· τὰς δὲ τῶν πιστῶν ὁμηγύρεις ἀσφαλῶς καθώπλισας, πρὸς ἑκάστην προσβολὴν τῶν κακοδόξων γενναίως παρατάττεσθαι, καὶ τούτους κατὰ κράτος ἐκνικᾷν· ὅθεν ἐπαξίως τιμῶντες τοὺς ἱδρῶτάς σου, κατὰ χρέος γεραίρομεν τὴν ᾀεισέβαστον μνήμην σου.

www.tezaurliturgic.ro

Ἕτερα Ἰδιόμελα τῆς ἁγίας Βαρβάρας· ζήτει αὐτὰ ἐν τῷ Μηναίῳ.
Δόξα τοῦ ὁσίου ἦχος πλ. β΄.

Ὄργανον τοῦ παναγίου Πνεύματος ἐχρημάτισας σοφὲ Ἰωάννη, καθηδύνων τὰς καρδίας τῶν πιστῶν τοῖς ἡδυπνόοις σου μέλεσι, καὶ σαφηνίζων ὀρθῶς τὰ τῶν δογμάτων δυσέφικτα· διό περ ἡ Ἐκκλησία, ὡς φωστῆρα ζωῆς λόγον ἐπέχοντα ἀνακηρύττουσα, τιμᾷ κατὰ χρέος σε, ἐξαιτουμένη λυτροῦσθαι αὐτὴν ταῖς πρεσβείαις σου πάσης βλάβης αἱρέσεων·

Καὶ νῦν, τὸ εἰς τὸν αὐτὸν ἦχον δογματικόν.

Εἰς τὸν στίχον, προσόμοια τοῦ ὁσίου· ζήτει ἅπαντα ἐν τῷ Μηναίῳ.

---

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν ά. στιχολογίαν. Κάθισμα τοῦ ὁσίου.

Τὸν τάφον σου Σωτήρ.

Ἡ δύφωνος αὐλὸς, μεγαλόφωνος σάλπιγξ, κιθάρα μελουργὸς, λιγυρὰ θεία λύρα, κινύρα παναρμόνιος, μουσικώτατον ὄργανον, ἐμπνεόμενον, τοῦ Παρακλήτου ταῖς αὔραις, ἀναδέδειξαι, ὦ Ἰωάννη καὶ θέλγεις, ἡμῶν τὰ νοήματα·

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον·

www.tezaurliturgic.ro

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα τῆς ἁγίας.
Τὸν συνάναρχον Λόγον.

Τῶν Ἁγίων ταῖς μνήμαις οἰκονομοῦντες πιστῶς, τῶν Ἀθληφόρων τὴν μνήμην πανηγυρίσωμεν, καὶ ᾠδαῖς πνευματικαῖς ἀνευφημήσωμεν, ὅτι ἐνέκρωσαν εὐχῇ, τὸν τὴν Εὔαν δολερῶς στερήσαντα ἀφθαρσίας, καὶ τὸν Χριστὸν δυσωποῦσιν, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον· Χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε· Χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητούς, πρὸς τὴν αἰώνιον ζωήν· Χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν·

Μετὰ τὸν Πολυέλεον, Κάθισμα τοῦ ὁσίου.
Τὸν τάφον σου Σωτήρ.

Ὑμνοῦμεν τοὺς σεπτούς, καὶ ἁγίους ἀγῶνας, οὓς ἔτλης ἀληθῶς, ὑπὲρ τῆς Ἐκκλησίας, γεραίροντες ἐν ᾄσμασι, τὰ σεπτὰ μελῳδήματα, ἃ κατέλιπες, εἰς ὑμνῳδίαν Κυρίου, ἀξιάγαστε, καὶ τῶν πιστῶν εὐφροσύνην, Ἰωάννη πανεύφημε·

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν

www.tezaurliturgic.ro


σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου·

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον, καὶ Εὐαγγέλιον τοῦ ὁσίου. Ὁ Ν'. Ἰδιόμελον τοῦ ὁσίου. Οἱ Κανόνες τῆς Θεοτόκου καὶ τῶν ἁγίων. Ζήτει ἅπαντα ἐν τῷ Μηναίῳ. Ἐξαποστειλάριον.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν ὑμνῳδῶν τὸ κλέος, κοσμήτορα τῶν ἑορτῶν, τὸν πρόμαχον εὐσεβείας, ὀλοθρευτὴν αἱρετικῶν, τὸν πάνσοφον Ἰωάννην, ἀνευφημήσωμεν πάντες·

Καὶ τὰ ἕτερα, ζήτει ἐν τῷ Μηναίῳ.

Εἰς τοὺς Αἴνους, προσόμοια τοῦ ὁσίου. ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ποθήσας τὰ ἄῤῥητα, καὶ ὑπερκόσμια κάλλη, ἅπερ οὐ τεθέαται, ὀφθαλμὸς οὐδ' ἤκουσεν, οὖς ἀνθρώπινον, οὐδὲ μὴν ἄνεισιν, εἰς βροτῶν καρδίαν, ἃ ἡτοίμασεν ὁ Κύριος, τοῖς ἀγαπήσασι, τούτου τὸ πανάγιον ὄνομα, ἐμίσησας τὰ γήϊνα, τερπνὰ ὡς φθειρόμενα πάνσοφε, καὶ ἀκολουθήσας, ἀγάπῃ τῷ Χριστῷ εἰλικρινεῖ, πρὸς ἐφετῶν τὸ ἀκρότατον, εὐκλεῶς κατήντησας· (δὶς)

Ἐκ πόθου γενόμενος, σὺ ἐραστὴς τῆς σοφίας, ταύτην ἐκ νεότητος, ἀκλινῶς ἐζήτησας, καὶ ἐφεύρηκας· ὅθεν σὲ ἔστεψεν ἐν λαμπροῖς στεφάνοις, καὶ ποικίλοις ἐν χαρίσμασι, σὲ κατεκόσμησεν, οἷς ἀγλαϊζόμενος πάντοθεν, τὴν Ἐκκλησίαν ἅπασαν, θείοις κατελάμπρυνας ᾄσμασι, καὶ τὰς πανηγύρεις, ἐφαίδρυνας τῶν θείων ἑορτῶν, τοῖς ἡδυφθόγγοις σου μέλεσιν, Ἰωάννη πάνσοφε·

www.tezaurliturgic.ro


Εἰδὼς διαβαίνουσαν, ὡς ἀληθῶς τῆς εἰκόνος, τὴν τιμὴν θεσπέσιε, ἐπὶ τὸ πρωτότυπον ἀνεκήρυξας, εὐσεβῶς ὅσιε, προσκυνεῖν ὡς θέμις, τοῦ Χριστοῦ καὶ τῆς Θεόπαιδος, ἁγίων πάντων τε, οὐ λατρευτικῶς τὰ μορφώματα, σχετικῶς δὲ θεόσοφε, ἵνα δι' αὐτῶν μνημονεύοντες, καὶ τῶν πρωτοτύπων, τὴν χάριν ἐφελκώμεθα ἀεί· διὸ τιμῶμεν τὴν μνήμην σου, Ἰωάννη σήμερον·

Καὶ τῆς ἁγίας Ἰδιόμελα, γ'. ἦχος ά. Ζήτει αὐτὰ ἐν τῷ Μηναίῳ.
Δόξα, τοῦ ὁσίου. ἦχος πλ. δ'.

Τὸν ἀῤῥαβῶνα τῆς αἰωνίου μακαριότητος, λαμβάνων παρὰ τῆς Θεομήτορος, ἀνθ' ὧν ὑπὲρ τῆς εἰκόνος αὐτῆς, καὶ τοῦ ἐξ αὐτῆς τεχθέντος Χριστοῦ, καὶ τῶν ἁγίων αὐτοῦ ἠγωνίσω, Ἰωάννη τρισόλβιε, τὴν ἐκτμηθεῖσάν σου δεξιὰν, ταῖς ὑπερτίμοις αὐτῆς παλάμαις, ὑγιῆ ἀπέλαβες· ἔνθεν καὶ τὴν χάριν εἰληφὼς, τῶν τερπνῶν μελισμάτων τὴν πηγὴν ἀνεστόμωσας· καὶ ταύτην ὑμνήσας, τὰς ἑορτὰς κατεκόσμησας, καὶ τὴν Ἐκκλησίαν κατηύφρανας, κορυφαῖος πάντων τῶν μελῳδῶν ἀναδειχθείς· ὅθεν τῶν ἐσόπτρων λυθέντων, τὰς ἀμοιβὰς ἀπολαβὼν, σὺν Ἀγγέλοις νῦν τὰς ὑμνῳδίας μελῳδεῖς, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν·

Καὶ νῦν.

Δέσποινα πρόσδεξαι· · · ·

www.tezaurliturgic.ro

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ

## ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Ἦχος πλ. ά.

Ἡ ζωὴ ἐν τάφῳ.

Μεγαλύνομέν σε, Ἰησοῦ βασιλεῦ, καὶ τιμῶμεν τὴν σεπτήν σου Ἀνάληψιν, δι' ἧς ὕψωσας ἡμᾶς εἰς οὐρανούς·

Μεγαλύνομέν σε, ζωοδότα Χριστὲ, ἣν προσείληφας γὰρ φύσιν ἀνθρώπειον, συνεδόξασας εἰς ὕψος ἀναβάς·

Μεγαλύνομέν σε, τὸν Σωτῆρα ἡμῶν, τὸν τὴν ἡμετέραν φύσιν θεώσαντα, τῇ ἐνδόξῳ Ἀναλήψει σου Χριστέ·

Μεγαλύνομέν σε, Ἰησοῦ ὁ Θεὸς, καὶ δεόμεθά σου, εὔσπλαγχνε Κύριε, ἀεὶ ἔσο, ὡς ὑπέσχου, μεθ' ἡμῶν·

Τὰ σεπτά σου πάθη, προσκυνοῦμεν Χριστὲ, καὶ τι-

www.tezaurliturgic.ro


μῶμεν τὴν ἐκ τάφου ἐξέγερσιν, καὶ τὴν ἄνοδον ἐκ γῆς εἰς οὐρανούς·

Μεγαλύνομέν σε, Θεοτόκε ἁγνή, ἧς τῷ τόκῳ βροτῶν φύσις τεθέωται, καὶ ἀνῆλθεν ἀπὸ γῆς εἰς οὐρανόν·

Ἕτερα εἰς τὴν αὐτήν. ἦχος δ'.

Ἄγγελοι τὴν ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω·

Ἄγγελοι καὶ ἄνθρωποι προσκυνοῦμεν, τὴν θεωθεῖσαν σάρκα σου, ἥν περ ἀνείληφας Σῶτερ ἐν ἀσυγχύτῳ ἑνώσει·

Δόξα.

Ἄγγελοι τὸν ἕνα σε τῆς Τριάδος, ὁρῶντες μετὰ σώματος, εἰς οὐρανοὺς ἀνελθόντα, χαρμονικῶς προσεκύνουν·

Καὶ νῦν.

Ἄγγελοι καὶ ἄνθρωποι τὴν μητέρα, Θεοῦ δοξολογοῦμέν σε· διὰ γὰρ σοῦ ἐν τῷ κόσμῳ, χαρὰ ἐπέλαμψε Κόρη·

www.tezaurliturgic.ro

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ·

Ἦχος βαρύς.

Ἀπόστολοι τὴν χάριν τοῦ Παρακλήτου, ὁρῶντες ἐξεπλήττοντο, ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου.

Ἀπόστολοι τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐσοφίσθησαν, καὶ ξέναις γλώσσαις ἐλάλουν, τὰ τοῦ Θεοῦ μεγαλεῖα·

Ἀπόστολοι τὸ Πνεῦμα πυρίναις γλώσσαις, λαβόντες γῆς τὰ πέρατα, ὡς ἀστραπαὶ φωτὸς θείου, ἐνέπλησαν παραδόξως·

Ἀπόστολοι μητέρα τε καὶ παρθένον, τρανῶς σε ἀνεκήρυξαν· ἡμεῖς τε Παρθενομῆτορ, κηρύττομεν Θεοτόκον.

Ἕτερα εἰς τὴν αὐτήν. ἦχος δ'.

Ἄγγελοι καὶ ἄνθρωποι ἀνυμνοῦμεν, τρισὶν ἐν ὑποστάσεσιν, ἕνα Θεὸν ὁμοφώνως, Πατέρα Υἱὸν καὶ Πνεῦμα·

www.tezaurliturgic.ro


Ἄγγελοι καὶ ἄνθρωποι μελῳδοῦντες, τὸν ὕμνον τὸν τρισάγιον, ὢ Τρισαγία Θεότης, ὑμνοῦμέν σε γηθοσύνως·

Δόξα.

Πάτερ ἀγέννητε τῇ οὐσίᾳ, Υἱὲ γεννητὲ Πατρὶ συνάναρχε, καὶ τὸ πανάγιον Πνεῦμα, σῶσον ἡμᾶς τοὺς σοὺς δούλους·

Καὶ νῦν.

Παράκλητε τὸ Πνεῦμα τῆς ἀληθείας, ἐλθὲ καὶ ἡμῖν σκήνωσον, καὶ ἀπὸ πάσης κηλῖδος, ψυχῆς καθάρισον πάντας·